Od.17.261 στήτην ἐρχομένω, περὶ δέ σφεας ἤλυθ´ ἰωὴ
Od.17.262 φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ´ ἀείδειν
Od.17.263 Φήμιος. αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Od.17.264 "Εὔμαι´, ἦ μάλα δὴ τάδε δώματα κάλ´ Ὀδυσῆος·
Od.17.265 ῥεῖα δ´ ἀρίγνωτ´ ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.
Od.17.266 ἐξ ἑτέρων ἕτερ´ ἐστίν, ἐπήσκηται δέ οἱ αὐλὴ
Od.17.267 τοίχῳ καὶ θριγκοῖσι, θύραι δ´ εὐερκέες εἰσὶ
Od.17.268 δικλίδες· οὔ κέν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
Od.17.269 γινώσκω δ´, ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται
Od.17.270 ἄνδρες, ἐπεὶ κνίση μὲν ἐνήνοθεν, ἐν δέ τε φόρμιγξ
Od.17.271 ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην."
Od.17.272 τὸν δ´ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Od.17.273 "ῥεῖ´ ἔγνως, ἐπεὶ οὐδὲ τά τ´ ἄλλα πέρ ἐσσ´ ἀνοήμων.
Od.17.274 ἀλλ´ ἄγε δὴ φραζώμεθ´, ὅπως ἔσται τάδε ἔργα.
Od.17.275 ἠὲ σὺ πρῶτος ἔσελθε δόμους ἐῢ ναιετάοντας,
Od.17.276 δύσεο δὲ μνηστῆρας, ἐγὼ δ´ ὑπολείψομαι αὐτοῦ·
Od.17.277 εἰ δ´ ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ´ εἶμι προπάροιθεν.
Od.17.278 μηδὲ σὺ δηθύνειν, μή τίς σ´ ἔκτοσθε νοήσας
Od.17.279 ἢ βάλῃ ἢ ἐλάσῃ· τὰ δέ σε φράζεσθαι ἄνωγα."
Od.17.280 τὸν δ´ ἠμείβετ´ ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
Od.17.281 "γινώσκω, φρονέω· τά γε δὴ νοέοντι κελεύεις.
Od.17.282 ἀλλ´ ἔρχευ προπάροιθεν, ἐγὼ δ´ ὑπολείψομαι αὐτοῦ.
Od.17.283 οὐ γάρ τι πληγέων ἀδαήμων οὐδὲ βολάων·
Od.17.284 τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
Od.17.285 κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
Od.17.286 γαστέρα δ´ οὔ πως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
Od.17.287 οὐλομένην, ἣ πολλὰ κάκ´ ἀνθρώποισι δίδωσι·
Od.17.288 τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
Od.17.289 πόντον ἐπ´ ἀτρύγετον κακὰ δυσμενέεσσι φέρουσαι."
Od.17.290 ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Od.17.291 ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Od.17.292 Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ´ αὐτὸς
Od.17.293 θρέψε μέν, οὐδ´ ἀπόνητο, πάρος δ´ εἰς Ἴλιον ἱρὴν
Od.17.294 ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες

Od.17.295 αἶγας ἐπ´ ἀγροτέρα̲ς ἠδὲ πρόκας ἠδὲ λαγωούς·
Od.17.296 δὴ τότε κεῖτ´ ἀπόθεστος ἀποιχομένοιο ἄνακτος
Od.17.297 ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυρά̲ων
Od.17.298 ἡμιόνων τε βοῶν τε ἅλις κέχυτ´, ὄφρ´ ἂν ἄγοιεν
Od.17.299 δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρίσσοντες·
Od.17.300 ἔνθα κύων κεῖτ´ Ἄργος ἐνίπλειος κυνοραιστέ̲ω̲ν.
Od.17.301 δὴ τότε γ´, ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
Od.17.302 οὐρῇ μέν ῥ´ ὅ γ´ ἔσηνε καὶ οὔατα κάββαλεν ἄμφω,
Od.17.303 ἇσσον δ´ οὐκέτ´ ἔπειτα δυνήσατο οἷο ἄνακτος
Od.17.304 ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
Od.17.305 ῥεῖα λαθὼν Εὔμαιον, ἄφαρ δ´ ἐρεείνετο μύ̲θῳ·
Od.17.306 "Εὔμαι´, ἦ μάλα θαῦμα κύων ὅδε κεῖτ´ ἐνὶ κόπρῳ.
Od.17.307 κα̲λὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ´ οὐ σάφα οἶδα,
Od.17.308 ἢ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,
Od.17.309 ἦ αὔτως οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
Od.17.310 γ̲ίνοντ´, ἀγλαΐης δ´ ἕνεκεν κομέουσιν ἄνακτες."
Od.17.311 τὸν δ´ ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Od.17.312 "καὶ λ̲ίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος
Od.17.313 εἰ τοιόσδ´ εἴη ἠμὲν δέμας ἠδὲ καὶ ἔργα,
Od.17.314 οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
Od.17.315 αἶψά κε θηήσαιο ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
Od.17.316 οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕ̲λης
Od.17.317 κνώδαλον, ὅττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιῄδη.
Od.17.318 νῦν δ´ ἔχεται κακότητι, ἄναξ δέ οἱ ἄλλοθι πάτρης
Od.17.319 ὤλετο, τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσι.
Od.17.320 δμῶες δ´, εὖτ´ ἂν μηκέτ´ ἐπικρατέωσιν ἄνακτες,
Od.17.321 οὐκέτ´ ἔπειτ´ ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι·
Od.17.322 ἥμισυ γάρ τ´ ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
Od.17.323 ἀ̲νέρος, εὖτ´ ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσιν."
Od.17.324 ὣς εἰπὼν εἰσῆλθε δόμους ἐΰ ναιετάοντας,
Od.17.325 βῆ δ´ ἰ̲θὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Od.17.326 Ἄργον δ´ αὖ κατὰ μοῖρ´ ἔλαβεν μέλανος θανάτοιο,
Od.17.327 αὐτίκ´ ἰδόντ´ Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.